GREK 2051 (Spring 2006)

**BIBLICAL READINGS**

supplement to Shelmerdine

**Chapter 22**

The books of the *Maccabees* (“Hammers”) relate the second century BCE revolt of Jews in Palestine against Seleucid rulers who tried to force Hellenistic Greek religion upon them. This selection celebrates the heroism of Hannah, who preferred death for herself and her seven sons to kneeling to King Antiochus IV (her full story is told in *Maccabees* 2.7.1-40).

1 Ὦ λογισμὲ τέκνων, παθῶν τύραννε, καὶ εὐσέβεια μητρὶ τέκνων ποθεινοτέρα. 2
μήτηρ δυοῖν προκειμένων, εὐσεβείας καὶ τῆς ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ
τὴν τοῦ τυράννου ὑπόσχεσιν, 3 τὴν εὐσέβειαν μᾶλλον ἠγάπησεν τὴν σῴζουσαν εἰς
αἰωνίαν ζωὴν κατὰ θεόν. 4 ὦ τίνα τρόπον ἠθολογήσαιμι φιλότεκνα γονέων πάθη.
ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα εἰς μικρὸν παιδὸς χαρακτῆρα θαυμάσιον
ἐναποσφραγίζομεν, μάλιστα διὰ τὸ τῶν παθῶν τοῖς γεννηθεῖσιν τὰς μητέρας τῶν
πατέρων καθεστάναι συμπαθεστέρας. 5 ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ
πολυγονώτεραι ὑπάρχουσιν αἱ μητέρες, τοσούτῳ μᾶλλόν εἰσιν φιλοτεκνότεραι. 6
πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ παίδων μήτηρ φιλοτεκνοτέρα, ἥτις ἑπτὰ
κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυτευομένη φιλοστοργίαν 7 καὶ διὰ πολλὰς τὰς
καθ’ ἕκαστον αὐτῶν ὠδῖνας ἠναγκασμένη τὴν εἰς αὐτοὺς ἔχειν συμπάθειαν, 8 διὰ
τὸν πρὸς τὸν θεὸν φόβον ὑπερεῖδεν τὴν τῶν τέκνων πρόσκαιρον σωτηρίαν.

(Μακκαβίων Δ 15.1-8)

ἀγαπάω yearn to
αἰώνιος –α –ον eternal
ἀναγκάζω compel
ἀσθενόψυχος –ον weak-souled
γονεύς –έως ὁ parent
γεννηθείς (aor. pass. part.) one who has been born
ἐγένετο = ἦν
ἐναποσφραγίζω put a seal onto
ἐπιφυτεύω plant in
εὐσέβεια –ας ἡ piety
ζωή -ῆς ἡ life
ἥτις = ἥ
θαυμάσιος –α –ον awesome
τὸ …καθεστάναι (mothers) standing up
κυοφορία –ας ἡ pregnancy
λογισμός –οῦ ὁ reckoning
μορφή -ῆς ἡ shape
ὁμοιότης –τητος ἡ similarity
ὅσῳ…τοσούτῳ by just as much
πάθος –ους τό suffering
πόθεινος –η –ον desired
πολύγονος –ον giving birth a lot
πρόσκαιρος –ον temporary
προκειμένων when they (the two things, εὐσέβεια and σωτηρία) lay there in front (of her)
συμπάθεια –ας ἡ sympathy, compassion
συμπαθής -ές sympathetic, compassionate
σωτηρία –ας ἡ safety
τίνα τρόπον ἠθολογήσαιμι How can I explain
ὑπάρχω come to be
ὑπερεῖδεν (aor.) looked past
ὑπόσχεσις –εως ἡ promise
φιλοστοργία –ας ἡ tender love
φιλότεκνον –η –ον child-loving
φόβος –ου ὁ fear
ψυχή -ῆς ἡ soul
χηρακτήρ –τῆρος ὁ character, stamp
ὠδῖς -ῖνος ἡ labor pain